*τοῦτ᾽ οὖν οὐκ ἄχρηστόν ἐστιν ἐννοεῖν τοὺς πολυπράγμονας, ὅπως αἰσχύνωνται τὴν πρὸς τοὺς μισουμένους μάλιστα καὶ δυσχεραινομένους ὁμοιότητα καὶ συγγένειαν τοῦ ἐπιτηδεύματος.*

## 37.

# ΠΕΡΙ ΦΙΛΟΠΛΟΥΤΙΑΣ

(Plan. 17)

**1.** *Ἱππόμαχος ὁ ἀλείπτης ἐπαινούντων τινῶν ἄνθρωπον εὐμήκη καὶ μακρὰς ἔχοντα χεῖρας ὡς πυκτικὸν ‘εἴπερ’* D *ἔφη ‘καθελεῖν ἔδει τὸν στέφανον ᾐωρημένον.’ τοῦτ᾽ ἔστιν εἰπεῖν πρὸς τοὺς τὰ καλὰ χωρία καὶ τὰς μεγάλας οἰκίας καὶ τὸ πολὺ ἀργύριον ὑπερεκπεπληγμένους καὶ μακαρίζοντας· ‘εἴ γ᾽ ἔδει πωλουμένην πρίασθαι τὴν εὐδαιμονίαν’ (καίτοι πολλοὺς ἂν εἴποι τις ὅτι μᾶλλον ἐθέλουσι πλουτεῖν*